προσαγομένῃ μήκει ἡ ΓΔ. λέγω ὅτι ἡ ΓΔ ἐκ δύο ὀνομάτων ἐστὶ
καὶ τῇ τάξει ἡ αὐτὴ τῇ ΑΒ. ἐπεὶ γὰρ ἐκ δύο ὀνομάτων ἐστὶν
ἡ ΑΒ διῃρημένη εἰς τὰ ὀνόματα κατὰ τὸ Ε. αἱ ΑΕ ΕΒ ἄρα
ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι. καὶ γεγονέτω ὡς ἡ
ΑΒ πρὸς ΓΔ, ἡ ΑΕ πρὸς ΓΖ. καὶ λοιπὴ ἄρα ἡ ΕΒ
πρὸς λοιπὴν τὴν ΖΔ ἐστὶν ὡς ἡ ΑΒ πρὸς ΓΔ. σύμ-
μετρος δὲ ἡ ΑΒ τῇ ΓΔ μήκει· σύμμετρος ἄρα καὶ ἡ
μὲν ΑΕ τῇ ΓΖ, ἡ δὲ ΕΒ τῇ ΖΔ, καὶ εἰσὶ ῥηταὶ αἱ ΑΕ ΕΒ·
ῥηταὶ ἄρα καὶ αἱ ΓΖ ΖΔ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΑΕ πρὸς ΕΒ,
ἡ ΓΖ πρὸς ΖΔ. αἱ δὲ ΑΕ ΕΒ δυνάμει μόνον εἰσὶ σύμ-
μετροι· καὶ αἱ ΓΖ ΖΔ ἄρα δυνάμει μόνον εἰσὶ σύμμετροι·
ἐδείχθησαν δὲ καὶ ῥηταί· ἡ ΓΔ ἄρα ἐκ δύο ὀνομάτων ἐστί.
λέγω δὴ ὅτι καὶ τῇ τάξει ἡ αὐτή ἐστι τῇ ΑΒ. ἐπεὶ γάρ
ἐστιν ὡς ἡ ΑΕ πρὸς τὴν ΕΒ, ἡ ΓΖ πρὸς ΖΔ· καὶ ὡς ἄ-
ρα τὸ ἀπὸ τῆς ΑΕ πρὸς τὸ ὑπὸ τῶν ΑΕΒ, οὕτως τὸ
ἀπὸ τῆς ΓΖ πρὸς τὸ ὑπὸ τῶν ΓΖΔ· ἐναλλὰξ ὡς τὸ ἀ-
πὸ τῆς ΑΕ πρὸς τὸ ἀπὸ τῆς ΓΖ, οὕτως τὸ ὑπὸ τῶν
ΑΕΒ πρὸς τὸ ὑπὸ τῶν ΓΖΔ· σύμμετρον δὲ τὸ ἀπὸ τῆς
ΑΕ τῷ ἀπὸ τῆς ΓΖ· σύμμετρον ἄρα καὶ τὸ ὑπὸ τῶν
ΑΕΒ τῷ ὑπὸ τῶν ΓΖΔ. εἰ μὲν οὖν ῥητόν ἐστι τὸ ὑ-
πὸ τῶν ΑΕΒ, καὶ τὸ ὑπὸ τῶν ΓΖΔ ῥητόν ἐστι· καὶ διὰ
τοῦτο ἐστὶν ἐκ δύο ὀνομάτων πρώτη· εἰ δὲ μέσον τὸ ὑπὸ τῶν
ΑΕΒ, μέσον καὶ τὸ ὑπὸ τῶν ΓΖΔ, καὶ ἐστὶν ἑκατέρα δευ-
τέρα. καὶ διὰ
τοῦτο ἔσται καὶ ἡ
ΓΔ τῇ ΑΒ τῇ

Α Ε Β

Γ Ζ Δ

τάξει ἡ αὐτή:
ξη ἡ τῇ μείζονι σύμμετρος καὶ αὐτὴ μείζων ἐστίν. ἔστω μείζων
ἡ ΑΒ, καὶ τῇ ΑΒ σύμμετρος ἔστω ἡ ΓΔ. λέγω ὅτι καὶ ἡ ΓΔ
μείζων ἐστί. καὶ διῃρήσθω ἡ ΑΒ κατὰ τὸ Ε· αἱ ΑΕ ΕΒ ἄρα
δυνάμει εἰσὶν ἀσύμμετροι ποιοῦσαι τὸ μὲν συγκείμενον
ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων ῥητόν, τὸ δ' ὑπ' αὐτῶν
μέσον· καὶ γεγονέτω τὰ αὐτὰ τοῖς πρότερον. καὶ ἐπεί
ἐστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ, οὕτως ἡ τε ΑΕ πρὸς τὴν
ΓΖ καὶ ἡ ΕΒ πρὸς τὴν ΖΔ· καὶ ὡς ἄρα ἡ ΑΕ πρὸς τὴν ΓΖ,
οὕτως ἡ ΕΒ πρὸς ΖΔ. σύμμετρος δὲ ἡ ΑΒ τῇ ΓΔ·
σύμμετρος ἄρα καὶ ἑκατέρα τῶν ΑΕ ΕΒ ἑκατέρᾳ τῶν
ΓΖ ΖΔ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΑΕ πρὸς τὴν ΓΖ, οὕτως ἡ ΕΒ
πρὸς τὴν ΖΔ· καὶ ἐναλλὰξ ὡς ἡ ΑΕ πρὸς ΕΒ, οὕτως ἡ
ΓΖ πρὸς ΖΔ· καὶ συνθέντι ἄρα ἐστὶν ὡς ἡ ΑΒ πρὸς
τὴν ΒΕ οὕτως ἡ ΓΔ πρὸς τὴν ΔΖ· καὶ ὡς ἄρα τὸ ἀ-
πὸ τῆς ΑΒ πρὸς τὸ ἀπὸ τῆς ΒΕ, οὕτως τὸ ἀπὸ τῆς
ΓΔ πρὸς τὸ ἀπὸ τῆς ΔΖ. ὁμοίως δὴ δείξομεν ὅτι
καὶ ὡς τὸ ἀπὸ τῆς ΑΒ πρὸς τὸ ἀπὸ τῆς ΑΕ, οὕτως τὸ
ἀπὸ τῆς ΓΔ πρὸς τὸ ἀπὸ τῆς ΓΖ· καὶ ὡς ἄρα τὸ ἀ-
πὸ τῆς ΑΒ πρὸς τὰ ἀπὸ τῶν ΑΕ ΕΒ, οὕτως τὸ ἀπὸ
τῆς ΓΔ πρὸς τὰ ἀπὸ τῶν ΓΖ ΖΔ· καὶ ἐναλλὰξ ἄρα
ἐστὶν ὡς τὸ ἀπὸ τῆς ΑΒ πρὸς τὸ ἀπὸ τῆς ΓΔ, οὕ-
τως τὰ ἀπὸ τῶν ΑΕ ΕΒ πρὸς τὰ ἀπὸ τῶν ΓΖ ΖΔ·
σύμμετρον δὲ τὸ ἀπὸ τῆς ΑΒ τῷ ἀπὸ τῆς ΓΔ·
σύμμετρα ἄρα καὶ τὰ ἀπὸ τῶν ΑΕ ΕΒ τοῖς ἀπὸ
τῶν ΓΖ ΖΔ. καὶ ἔστι τὰ ἀπὸ τῶν ΑΕ ΕΒ ἅμα ῥητόν·

